Καὶ τοῦτο σαφὲς ποιεῖ παραδείγματι· ὁρῶμεν γάρ, φησί, κἀν τοῖς ἄλλοις τοῖς ἐκ πολλῶν συνεστῶσιν οὐ παρονομαζόμενον ἐκ τῆς μιᾶς τῶν ἀρχῶν μόνης τὸ πρᾶγμα, ἀλλ' ἐκεῖθεν ὅπερ ἀμφότερα συμπεριλαμβάνει· εἰ γὰρ καὶ ἡ γλυκύτης, λόγου χάριν, ἐκ τῆς ἐνεργείας τοῦ πεπτικοῦ θερμοῦ γίνεται, ἀλλά τό γε γλυκὺ οὐκ ἐκ τῆς θέρμης παρονομάζεται, ἀλλ' ἀπὸ τοῦ χυμοῦ μᾶλλον, τοῦ τὸ θερμὸν καὶ ὑγρὸν συμπεριλαμβάνοντος. Ἡ μὲν οὖν λέξις πᾶσα σαφής ἐστι τοῦ διδασκάλου.

## XXXV.

### λε'. Εἰ ἐξ ἀνάγκης ἡ ὕλη ζητεῖται πρὸς τὴν οὐσίαν τοῦ συνθέτου.

Δεῖ μέντοι γε εἰδέναι, ὅτι πρὸς τὴν τοῦ συνθέτου πράγματος οὐσίαν ἐξ ἀνάγκης ἡ ὕλη ζητεῖται καὶ πρὸς αὐτὴν ἀνήκει· τὰ γὰρ οὐσιωδῶς ἑνούμενα εἰς μίαν οὐσίαν ἀνήκουσιν· ὕλη δὲ καὶ εἶδος οὕτω συνάπτονται· οὐ γὰρ οἷόν τέ ἐστι λέγειν κατὰ συμβεβηκὸς ἑνοῦσθαι τῇ ὕλῃ τὸ εἶδος· εἵπετο γὰρ ἂν ἐντεῦθεν τό τε οὐσιῶδες εἶδος εἶναι συμβεβηκὸς καὶ τὴν ὕλην ὑποκείμενον τοῦ συμβεβηκότος ὑπάρχειν, καὶ τὸν ἄνθρωπον ὄν τε εἶναι καὶ ἓν κατὰ συμβεβηκός, καὶ τὴν αὐτοῦ γένεσιν καὶ φθορὰν κατὰ συμβεβηκὸς εἶναι, ἃ πάντα ἀτοπώτατά εἰσιν· τούτων δὲ ἀτόπων ὄντων πάνυ, οὔτε κατὰ συμβεβηκὸς ἑνοῦται τῇ ὕλῃ τὸ εἶδος, ἀλλ' οὐσιωδῶς δηλονότι, καὶ πρὸς μίαν οὐσίαν ἄμφω ταῦτα ἀνήκουσιν. Εἰ δέ τις ὅλην εἶναι τὴν οὐσίαν λέγοι τὸ εἶδος, τῆς δέ γε ὕλης μὴ ἐξ ἀνάγκης προσδεῖν διὰ τὸ τὰς μὲν οὐσιώδεις διαφορὰς πρὸς τὴν τοῦ πράγματος οὐσίαν ἀνήκειν, αὐτάς τε καὶ τὸ ἐξ οὗπερ αὗται λαμβάνονται, ἅτε τῶν διαφορῶν οὐσῶν ἐκ τῆς οὐσίας τοῦ πράγματος, πάσας δὲ αὐτὰς ἐκ τοῦ εἴδους μόνον, καὶ οὐδέποτ' ἐκ τῆς ὕλης λαμβάνεσθαι, οὐκ ἀληθὴς καθάπαξ ὁ λόγος· λαμβάνονται γὰρ αἱ οὐσιώδεις διαφοραὶ ἔκ τε τοῦ εἴδους καὶ τῆς ὕλης τρόπον τινὰ αἱ αὐταί, εἰ καὶ μάλιστα καὶ προηγουμένως ἀπὸ τοῦ εἴδους· οὐ γὰρ ἐξ αὐτοῦ γε λαμβάνονται εἰ μὴ ὡς ἔνεστι τῇ ὕλῃ. Καὶ ὅ φησιν Ἀριστοτέλης ἐν πρώτῳ τῆς περὶ ψυχῆς, τὴν ψυχὴν εἶναι τὸ τί ἐστι τοῦ ζῴου, οὐχ ἁπλῶς δεῖ νοεῖν, ἀλλ' ὡς μάλιστα καὶ πρωτοτύπως τοῦ εἴδους πρὸς
f. 43 τὴν οὐσίαν ἀνήκοντος, ἐπεί τοι γε ἐν ἑβδόμῳ | τῶν μετὰ τὰ φυσικὰ τὴν σάρκα καὶ τὰ ὀστᾶ προσήκειν φησὶ τῷ τί ἐστι τοῦ ἀνθρώπου καὶ τῇ οὐσίᾳ αὐτοῦ. Ὅθεν οὐ δεῖ λέγειν αἰτίαν εἶναι τῆς συνθέτου οὐσίας μόνον τὸ εἶδος, ὡς τῆς ὕλης ἀποκλειομένης καθάπαξ, ἀλλ' ὡς καὶ αὐτῆς μὲν πρὸς τὴν οὐσίαν ζητουμένης καὶ οὔσης αἰτίας ἐν τῷ συνθέτῳ, τοῦ μέντοι γε εἴδους προηγουμένως καὶ πρωτοτύπως ποιοῦντος εἶναι τὸ πρᾶγμα τοιόνδε· διὸ καὶ μόνον τὸ εἶδος λέγοιτ' ἂν αἴτιον εὐλόγως· τὴν δὲ ὕλην συναιτίαν μᾶλλον δεῖ λέγειν, ἢ δευτέραν τε καὶ ἑπομένην αἰτίαν.

ΙΩΑΝΝΙΝΑ 2006

*Ἀλλὰ διὰ τὸ τῆς ἀτομότητος ἀρχὴν εἶναι.* — Δείξας ὁ διδάσκαλος τὴν δοκοῦσαν αὐτῷ περὶ τῶν προκειμένων ἀλήθειαν, νῦν ἀποσκευάζεταί τινα ἀπορίαν ἐκ τῶν εἰρημένων ἀνίσχουσαν, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον γὰρ κινεῖ τὴν ἀπορίαν καὶ λύει· δεύτερον, πορίζεταί τινα ἐκ τῶν εἰρημένων ἀλήθειαν· τρίτον, ἀποκρίνεται πρός τι ζήτημα σιωπώμενον μὲν τέως, δυνάμενον δ' ἂν ὑπό τινος ἀνθυπενεχθῆναι τοῖς λόγοις. Εἴρηται μὲν οὖν, φησίν, ὡς ἡ τοῦ συνθέτου οὐσία τὸ εἶδός τε καὶ τὴν ὕλην ἐγκλείει, καὶ ὡς διὰ τοῦ ὁρισμοῦ καὶ ἄμφω ταῦτα σημαίνεται.

## XXXVI.

### λϛ'. Ὅπως τὸ εἶδος μόνον ὁρίζεται.

Ἀλλὰ διὰ τὸ τὴν ὕλην ἀρχὴν εἶναι τῆς ἀτομότητος δόξειεν ἄν τινι τὴν οὐσίαν, περιέχουσαν εἶδός τε καὶ ὕλην ὁμοῦ, μερικὴν εἶναι μόνον, οὐχὶ καθόλου· ὅθεν ἀκολουθεῖ περαιτέρω τὸ τὰ καθόλου μὴ ἔχειν ὁρισμόν, ἀλλὰ μόνον τὰ μερικὰ διὰ τὸ τὴν οὐσίαν εἶναι τὸ διὰ τοῦ ὁρισμοῦ σημαινόμενον. Εἶτα λύει ταύτην τὴν ἀπορίαν, οὐκ ἀληθὲς εἶναι λέγων τὸ τὴν ὕλην ὁποιῳδήποτε τρόπῳ λαμβανομένην ἀρχὴν εἶναι τῆς ἀτομότητος· οὐ γὰρ ἡ ὕλη κοινῶς λαμβανομένη, ἀλλὰ μόνον ἡ σεσημειωμένη ὕλη ταύτης ἐστὶν ἀρχή. Εἶτα ἐξηγούμενος ἑαυτόν, προστίθησι τίς ἐστιν ἡ σεσημειωμένη ὕλη· ὅτι ἡ θεωρουμένη ὑπὸ διωρισμέναις καὶ σαφέσι διαστάσεσι· καὶ ἡ τοιαύτη ὕλη οὐκ ἔστιν ἐκ τῆς τοῦ ἀνθρώπου οὐσίας οὐδ' ἐν τῷ ὁρισμῷ τούτου τίθεται, ἀλλ' ἔστιν ἐκ τῆς τοῦ Σωκράτους οὐσίας, καὶ ἐτίθετ' ἂν ἐν τῷ ὁρισμῷ αὐτοῦ, εἴπερ οἷόν τε ἦν, ὁρισμὸν ἀποδίδοσθαι αὐτοῦ. Ἀλλ' ἡ κοινή γε ὕλη ἐκ τῆς τοῦ ἀνθρώπου οὐσίας ἐστίν, καὶ ἐν τῷ ὁρισμῷ τούτου τίθεται, οἷον ὀστοῦν καὶ σὰρξ ἐκ τῆς ἀνθρωπίνης οὐσίας εἰσίν, καὶ ἐν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ τίθενται, οὐχὶ δὲ ἡ σὰρξ ἥδε καὶ τοδὶ τὸ ὀστοῦν, ἃ τῆς σεσημασμένης ὕλης ἐστίν.

## XXXVII.

### λζ'. Ὅτι τὰ ἄτομα οὐχ ὁρίζεται.

Ὅτι δὲ τὰ ἄτομα οὐχ ὁρίζεται, | δῆλον ἐστίν· τὸ γὰρ ἄτομον οὐκ f. 43v
ἔστιν ὅλον ἐν τῷ αὐτῷ γένει, εἴτε συμβεβηκὸς εἴη ἐν ὑποκειμένῳ, εἴτε οὐσία μετὰ τῶν ἀτομικῶν ἰδιοτήτων, αἵτινες ἐκ τοῦ γένους τοῦ συμβεβηκότος εἰσίν· τὸ δὲ ὁριζόμενον ὑφ' ἓν γένος δεῖ τετάχθαι· ἔστι γὰρ τὸ ὁριστὸν ἐν τῷ αὐτῷ γένει τῷ τε γένει καὶ τῇ διαφορᾷ, ἐξ ὧν ὁ ὁρισμὸς αὐτοῦ σύγκειται.

Καὶ ἄλλως· τὸ μὲν ὁριζόμενον δεῖ πάντων διακρίνεσθαι τῶν ἐν τῷ αὐτῷ γένει ὄντων διαφοραῖς τισι τὸ κοινὸν διαιρούσαις· ὁ Σωκράτης δὲ

---

1 *Ἀλλὰ διὰ τὸ τῆς*: c. II, 6, p. 158, 1    35 τε: *γε* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὐκ ἄν ποτε ἑνὶ λόγῳ διακριθείη τῶν ὁμοειδῶν· οὐ γὰρ ἔστιν οὔτε συνειλημμέναις τισὶ διαφοραῖς αὐτὸν διακρίναι, ἐπεὶ ἀδύνατόν ἐστι τὰς πρὸς ἕκαστον ἰδιότητας αὐτοῦ συνειλημμένῃ τινὶ δηλῶσαι διαφορᾷ, οὔτε πάσας διακεκριμένως ἐν τῷ λόγῳ θεῖναι δυνατόν ἐστι, τὰς πρὸς ἕκαστον διαφορὰς αὐτοῦ. Οὐ μόνον δὲ ἐκ τοῦ μέρους τοῦ γένους καὶ τῆς διαφορᾶς τοῦθ' ἕπεται ἐξ ἀνάγκης, τὸ μὴ δύνασθαι τὸν Σωκράτην ὁρίζεσθαι, ἀλλὰ δὴ καὶ ἐκ τῆς αὐτοῦ φύσεως· μερικόν τε γάρ ἐστι καὶ φθαρτὸν καὶ μεταβλητόν· τῶν δὲ καθόλου καὶ ἀφθάρτων καὶ ὡσαύτως ἐχόντων ἀεὶ δεῖ τοὺς ὁρισμοὺς εἶναι, ὡς ἐν τοῖς περὶ ἀποδείξεως φησὶν ὁ Φιλόσοφος, ὅπου καὶ τὸν λόγον προστίθησι· „μόνον δὲ τὸ εἶδος ὁρίζεται·" αὐτό τε γὰρ καθόλου καὶ ἄφθαρτόν ἐστι τῇ διαδοχῇ τῶν καθ' ἕκαστα, καὶ μόνον αὐτὸ γένος ἔχει καὶ διαφοράς, ἐξ ὧν οἱ ὁρισμοὶ γίνονται. Ἀλλ' οὐδὲ τὸ γένος, ᾗ γένος ἐστίν, ὁρισμὸν ἔχειν δύναται· οὐ γάρ εἰσιν αὐτοῦ γένος τε καὶ συστατικαὶ διαφοραί, εἰ μὴ ἄρα ὡς εἴδους· οὕτω γὰρ καὶ τὸ ζῷον ὁρίζεται, ᾗ εἶδός ἐστι τοῦ ἐμψύχου σώματος, ἤ, εἰ βούλει γε, τῆς οὐσίας· οὐσίας δὲ οὐκ ἔστι λόγον εὑρεῖν, ὅτι μηδὲ γένος καὶ συνιστώσας διαφοράς, διότι γένος αὐτή ἐστιν ὡς ἀληθῶς, καὶ οὐδαμῶς ἐστιν εἶδος.

## XXXVIII.

### λη'. Ὅπως αἱ ἀτομοῦσαι ἀρχαὶ ἐκ τοῦ ἐνδοτέρου λόγου τοῦ ἀτόμου εἰσίν.

Δῆλον δέ ἐστιν ἐκ τῶν εἰρημένων, ὅτι τὰ ἀτομοῦντα ἐκ τοῦ ἐνδοτέρου λόγου τοῦ ἀτόμου, ταὐτὸν δ' εἰπεῖν τοῦ ὑποκειμένου τυγχάνουσιν, ὥσπερ ἄρα καὶ αἱ κοιναὶ ἀρχαὶ ἐκ τῆς ἐνδοτέρας τοῦ εἴδους φύσεως. Ὅθεν αὖθις ἐναργῶς συμπεραίνεται τὸ ὑποκείμενον πραγματικῶς διενηνοχέναι τῆς φύσεως· ἐγκλείει γὰρ ἔνδον ἐν ἑαυτῷ πραγματικόν τι, ὅπερ ἡ φύσις ἀποκλείει καὶ οὐ προσίεται.

## XXXIX.

### λθ'. Ὅπως ὁ Σωκράτης ταὐτόν ἐστι τῷ ἀνθρώπῳ πραγματικῶς.

Οὕτω τοίνυν δῆλον ἐστίν, ὅτι ἡ οὐσία. — Ἐνταῦθα πορίζεταί τινα ἐκ τῶν πρότερον εἰρημένων ἀλήθειαν· ἣ δέ ἐστι τὸ τὴν οὐσίαν
f. 44 τοῦ ἀνθρώπου καὶ τὴν Σωκράτους οὐσίαν μὴ διαφέρειν εἰ μὴ | τῷ σεσημασμένῳ καὶ οὐ σεσημασμένῳ· ἡ μὲν γὰρ τοῦ ἀνθρώπου οὐσία οὐκ ἔστι σεσημασμένη· ἡ δὲ τοῦ Σωκράτους ἐστίν. Εἴρηται γὰρ τὴν μὲν τοῦ ἀνθρώπου οὐσίαν ἔκ τε τοῦ εἴδους εἶναι καὶ τῆς κοινῆς ὕλης· τὴν δέ γε τοῦ Σωκράτους ἐξ εἴδους τε καὶ ὕλης σεσημασμένης· καὶ τοῦτ' ἐπιμαρτυρεῖ,

---

1 *ἑνὶ λόγῳ* om L  17 *αὐτή*: *αὐτό* S  20 *ὅπως*: *ὅτι* S  31 *Οὕτω τοίνυν δῆλον*: c. III, 1, p. 158, 16

Ε.Υ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

φησίν, Ἀβερόης ἐν ἑβδόμῳ τῶν μετὰ τὰ φυσικὰ λέγων τὸν Σωκράτην μηδὲν ἕτερον εἶναι ἢ τὴν ζῳότητα καὶ τὴν λογικότητα, ἅπερ εἰσὶν ἡ τοῦ ἀνθρώπου οὐσία. Προστίθησι δ' ὅτι τὸν αὐτὸν δεῖ τρόπον καὶ περί τε τοῦ γένους καὶ τοῦ εἴδους λέγειν· καὶ τούτων γὰρ αἱ οὐσίαι οὐ διαφέρουσιν εἰ μὴ τῷ σεσημασμένῳ καὶ ἀσημάντῳ· δῆλον γὰρ ὡς ἡ τοῦ ἀνθρώπου καὶ παντὸς εἴδους οὐσία, τῇ γε πρὸς τὴν οὐσίαν τοῦ γένους ἀποβλέψει, διώρισταί τέ πως καὶ μερικεύεται, ὥστε τὸ εἶδος ταύτῃ μερικόν τι τοῦ γένους προσαγορεύεσθαι. Προσδιορίζεται μέντοι διαφορὰν μεταξὺ τῶν δύο σημασιῶν· τὸ μὲν γὰρ ἐπισεσημασμένον, τοῦ ἀτόμου, φησί, τῷ εἴδει παραβαλλομένου διὰ τῆς ὕλης γίνεται, ἥτις ἐσφράγισταί τε καὶ διώρισται ῥηταῖς τισι διαστάσεσιν· ἡ δὲ τοῦ εἴδους ἐπισημασία τῇ πρὸς τὸ γένος ἀποβλέψει τῇ εἰδοποιῷ διαφορᾷ γίνεται, ἐκ τοῦ εἴδους τοῦ πράγματος λαμβανομένη. Ἰδοὺ τοίνυν ἐναργῶς τῇ τοῦ Ἀβερόου ῥήσει παρίσταται τὸ τὸν Σωκράτην ταὐτόν τι εἶναι τῷ ἀνθρώπῳ πραγματικῶς· αὐτοῦ γὰρ λέγοντος τὸν Σωκράτην οὐδὲν ἕτερον εἶναι ἢ τὴν ζῳότητα καὶ τὴν λογικότητα, ζῳότητος δέ γε καὶ λογικότητος πραγματικῶς ἓν οὔσης καὶ ταὐτὸν τῷ ἀνθρώπῳ, τί λοιπόν ἐστιν ἢ τὸ τὸν Σωκράτην πραγματικῶς εἶναι ταὐτὸν τῷ ἀνθρώπῳ.

## XL.

### μ'. Πότερον τὸ ὑποκείμενον ταὐτόν ἐστι πραγματικῶς τῇ φύσει.

Ἀνίσχει δέ τις εὐθὺς ἀπορία πρὸς τοῦτο. Δόξειε γὰρ ἂν ταύτῃ γε τὸν Σωκράτην ταὐτόν τι εἶναι ἔργῳ τῇ ἀνθρωπότητι, καὶ οὕτω τὸ ὑποκείμενον ταὐτὸν εἶναι τῇ φύσει, εἴ γε καὶ ἡ ἀνθρωπότης πράγματι οὐδέν ἐστιν ἕτερον ἢ ἡ ζῳότης· ἅμα δὲ καὶ ἡ λογικότης καὶ ἡ ἀνθρωπότης ταὐτὸν ἔσται· ἣν ἐπιλυομένοις ῥητέον ἂν εἴη, ὡς ὅ γε Σωκράτης διχῶς θεωρεῖσθαι δύναται· ἕνα μὲν τρόπον, ὅσον πρὸς τὴν οὐσίαν καὶ τὸ οὐσιῶδες εἶναι αὐτοῦ, καὶ οὕτως οὐδέν ἐστιν αὐτὸς ἕτερον ἢ τὸ εἶδος αὐτοῦ καὶ ἡ φύσις, αὕτη δέ ἐστι δήπου ἡ ἀνθρωπότης· οὐδὲν γὰρ ἄλλο λέγει τὸ τοῦ Σωκράτους ὄνομά τε καὶ πρᾶγμα εἰ μὴ τὰς οὐσιώδεις τοῦ εἴδους ἀρχάς, ψυχὴν δηλονότι καὶ σῶμα· ταῦτα δὲ ὅ τε ἄνθρωπος καὶ ἡ ἀνθρωπότης δηλοῖ, | καὶ f. 44v οὕτω πραγματικῶς ταὐτόν ἐστιν ὁ Σωκράτης αὐτοῖς καὶ οὐδὲν πραγματικὸν ἐκείνοις προστίθησιν. Ἄλλον δὲ τρόπον δύναται θεωρεῖσθαι, ὅσον πρὸς τὸ ὁλικὸν αὐτοῦ εἶναι, ὅπερ ἢ ὅλῳ καὶ ὑποκειμένῳ τινὶ πρόσεστιν αὐτῷ, καὶ οὕτως ἐγκλείει τό τε εἶναι καὶ τὰ ἀτομοῦντα αὐτὸν τῷ ἐνδοτέρῳ αὐτοῦ λόγῳ, ἃ πάντα προδήλως ἐκ τῆς οὐσίας εἰσὶν αὐτοῦ, καὶ οὕτω πραγματικῶς διενήνοχε τῆς ἀνθρωπότητος, ἧς ταῦτα καθάπαξ ἐκκλείεται· οὐχὶ δὲ καὶ τοῦ ἀνθρώπου πραγματικῶς διενήνοχεν· οὐ γὰρ ὅ γε ἄνθρωπος τούτων ἀφέστηκεν, ἀλλ' εἰ καὶ ἀδιακρίτως, ὅμως ἐγκλειόμενα ἔχει. Καὶ

οὕτως ἀληθές ἐστι τὸν Σωκράτην ταὐτόν πως εἶναι τῇ ἀνθρωπότητι, ὅσον δηλονότι πρὸς τὸ οὐσιῶδες εἶδος αὐτοῦ.

Αὕτη δὲ ἡ σημασία ἡ ὁ διορισμός, ὅς ἐστιν ἐν τῷ εἴδει. — Νῦν ὥσπερ ἀνθυποφοράν τινα λύει. Ἠδύνατο γὰρ ἄν τις ζητεῖν μήποτε τὸ δι' οὗ γίνεται ὁ διορισμὸς οὗτος καὶ ἡ σημείωσις ἡ τοῦ γένους πρός γε τὸ εἶδος, ἡ τοῦ εἴδους πρὸς τὸ ἄτομον, οὕτως ᾖ ἐν τῇ ὕλῃ τοῦ εἴδους ἢ τοῦ ἀτόμου ὡς ἐνδότερόν τι αὐτῶν, ὥστε μηδένα τρόπον ἐν τῇ οὐσίᾳ τοῦ γένους ἢ τοῦ εἴδους τυγχάνειν αὐτό. Ἀλλὰ τοὐναντίον ἐστί, φησίν, ὅτι πᾶν ὅπερ ἐστὶν ἐν τῷ εἴδει κἀν τῷ γένει ἐστίν, οὐ διωρισμένως μέντοι γε, ἀλλ' ἀδιακρίτως. Ταὐτὸ δὲ νοητέον ἐστὶ καὶ περὶ τοῦ ἀτόμου, ᾗ καὶ αὐτὸ πρὸς εἶδος τέτακται, καὶ τοῦτ' ἀποδείκνυσιν ἐπὶ τοῦ γένους, γένος τι λαβών, τὸ ζῷον.

## XLI.

### μα΄. Πῶς τὸ μέρος δύναται κατηγορεῖσθαι τοῦ ὅλου, καὶ πῶς οὔ.

Καὶ ἡ δεῖξις οὑτωσὶ προχωρεῖ. Εἰ τὸ ζῷον, γένος ὄν, μὴ ἦν πως ὅλον τοῦθ' ὅπερ ἐστὶν ἄνθρωπος, εἴπετ' ἂν μὴ δύνασθαι κατηγορεῖσθαι κατὰ τοῦ ἀνθρώπου τὸ ζῷον· ἀλλὰ τὸ ἑπόμενον ψεῦδος ἐστίν· καὶ τὸ ἡγούμενον ἄρα. Καὶ τὸ μὲν ἐν τῷ ἡγουμένῳ ψεῦδος αὐτόθεν ἐστὶ σαφές, τὴν δ' ἀκολουθίαν ἀποδείκνυσιν. Εἰ γὰρ τὸ ζῷον, φησί, μὴ λέγοι τοῦθ' ὅλον ὅπερ ἐστὶν ὁ ἄνθρωπος, μέρος ἂν αὐτοῦ δήπου λέγοι, καὶ οὕτως οὐκ ἂν κατηγορεῖτο τοῦ ζῴου διὰ τὸ μηδὲν μέρος κατὰ τοῦ ἰδίου ὅλου κατηγορεῖσθαι. Ὁμοίως δὲ δεῖ καὶ περὶ τοῦ εἴδους ἐν τῇ πρὸς τὸ ἄτομον τάξει συλλογίζεσθαι. Ἐπεὶ δὲ τῇ μὲν διαφορᾷ ὁ τοῦ γένους πρὸς τὸ εἶδος ἀφορισμός, ὁ δὲ τοῦ εἴδους πρὸς τὸ ἄτομον τοῖς ἀτομοῦσιν ἰδιώμασι γίνεται, ὡς ἂν εἰδῇ τις σαφῶς πότερον τὰ διορίζοντα ταῦτα οὕτως ἐν τοῖς ὑπ' αὐτῶν διωρισμένοις εἰσὶν ὡς μηδένα τρόπον ἐν τοῖς ἀδιορίστοις εὑρίσκεσθαι, ἢ ἄλλως πως ἔχει, διπλοῦν εἶναι τὸ μέρος ἐπιστητέον· τὸ μέν, τὸ τοῦ λόγου, ὅπερ ἐστὶ γένος καὶ διαφορά· τὸ δέ, τὸ τοῦ πράγματος. Τὸ μὲν δὴ μέρος
f. 45 τοῦ λόγου καὶ | πάνυ δύναται κατηγορεῖσθαι· τὸ γὰρ τοιόνδε μέρος περιέχει πως τὸ ὅλον αὐτοῦ, τουτέστιν ἀδιακρίτως, οὐ μέντοι γε κατηγοροῖτ' ἄν, ᾗ μέρος ἐστίν, ἀλλ' ᾗ ὅλον τε καὶ περιέχον ἐστίν· τὸ δὲ τοῦ πράγματος μέρος, ὁποῖον ἂν εἴη, εἴτε ὡς ὁλοκλήρου ὅλου μέρος, εἴτε ὡς οὐσιῶδες, οὐδαμῶς κατὰ τοῦ ὅλου λέγεσθαι τοῦτο δύναται, τοὐλάχιστον καθ' αὑτό|· καθ' αὑτὸ δέ φημι διὰ τὸ τὸν ἄνθρωπον κατὰ τοῦ ζῴου κατὰ συμβεβηκὸς λέγεσθαι, καθόσον ὁ ἄνθρωπος μέρος ἐστὶ τοῦ ζῴου· καὶ τοῦτ' ἔστι διὰ τὸ μὴ δύνασθαι τὸν τοῦ ὅλου λόγον αὐτῷ προσεῖναι μηδ' ὁπωσοῦν· καὶ διὰ τοῦτ' ἐπισεσημασμένως ὁ διδάσκαλος μηδὲν μέρος

3 *Αὕτη δὲ ἡ σημασία*: c. III, 1, p. 158, 25   22 *τοῦ ζῴου*: αὐτοῦ L

Ε.Υ. της Κ.ΒΙ ΙΩΑΝΝΙΝΑ 2006

φησὶ τοῦ ἀκεραίου ὅλου κατ' αὐτοῦ τοῦ ἰδίου ὅλου δύνασθαι λέγεσθαι· φανεροῖ δὲ τοῦτο καὶ παραδείγματι, καὶ πρῶτον ἐναργῶς τὸν σκοπὸν ἐκτίθησιν αὐτοῦ καὶ τὴν πρόθεσιν.

## XLII.

μβ'. Ὅπως τὸ αὐτό ἐστιν εἶδος δι' οὗ τί ἐστι ζῷον, καὶ δι' οὗ σῶμα ἐστί, καὶ ποσαχῶς λαμβάνεται τὸ σῶμα.

Φησὶ γάρ· Τοῦτο δὲ πῶς ἂν συμβαίνοι, τουτέστι τὸ πάντα τὰ ἐν τῷ εἴδει κἂν τῷ γένει ἀδιακρίτως εἶναι, δυνατὸν ἔσται θεωρηθῆναι, ἂν ἐπιμελῶς πρῶτον θεωρηθῇ τὸ σῶμα, πῶς λέγεται· τοῦτο μέν, ἐπειδὰν μέρος αὐτὸ τοῦ ζῴου τεθῇ, φασκόντων ἡμῶν ὡς ἄρα τὸ ζῷον ἐκ ψυχῆς καὶ σώματος σύγκειται· τοῦτο δέ, ἐπειδὰν γένος τιθῆται, λεγόντων ἡμῶν ὅτι τὸ ζῷόν ἐστι σῶμα· οὐ γὰρ οἷόν τε ἐστί, φησί, τὸν αὐτὸν τρόπον γένος εἶναι τοῦ ζῴου τὸ σῶμα, καὶ μέρος ὁλικὸν αὐτοῦ. Εἶτα δείκνυσι ποσαχῶς τὸ σῶμα λαμβάνεσθαι δύναται, καὶ φησὶν ὅτι διχῶς· ἔνθα μὲν ὡς ἔστιν ἐν τῷ τῆς ποσότητος γένει, ὅτε δὴ ταὐτόν ἐστι τῇ τριττῇ διαστάσει· ἔνθα δὲ ὡς ἐν τῷ τῆς οὐσίας γένει τυγχάνει, καὶ τότε λέγεται σῶμα τῷ τοιαύτην ἔχειν φύσιν, ὥστ' ἐν αὐτῷ τὰς τρεῖς διαστάσεις ἐνσημαίνεσθαι δύνασθαι. Εἶτα προστίθησιν ἀναγκαῖόν τι καὶ χρησιμεῦον αὐτοῦ τῇ προθέσει, λέγων ἐν τοῖς πράγμασι τοιόνδε τι συμβαίνειν, ὅτι τὸ μίαν τελειότητα ἔχον καὶ ἑτέρας ἐφάπτεται τελειότητος· καὶ τοῦτο δῆλον ἐπὶ τοῦ ἀνθρώπου ποιεῖ, ἔχοντος μὲν τὴν θρεπτικὴν ψυχήν, ἔχοντος δὲ καὶ τὴν αἰσθητικήν, καὶ περαιτέρω τούτων τὴν νοεράν· τοῦτο δὲ ἐφαρμόττων τῷ προκειμένῳ, φησὶν ὅτι καὶ ἐπὶ τοῦ σώματος ὁμοίως συμβαίνει· τῇ γὰρ τελειότητι τούτου ταύτῃ, ἥτις ἐστὶ τὸ τοιοῦτον εἶδος ἔχειν ὡς ἐν αὐτῷ δύνασθαι τὰς τρεῖς οἷον ἐνσημαίνεσθαι διαστάσεις, ἔξεστι καὶ ἄλλην τινὰ συνάπτεσθαι τελειότητα, οἷον ζωήν, ἢ κίνησιν, ἤ τι τοιοῦτον.

Ταῦτα τοίνυν δείκνυσιν, ὅπως τὸ σῶμα δι|ενήνοχεν ᾗ τέ ἐστι σῶμα f. 45v
καὶ ᾗ ἐστι γένος, καὶ φησὶν ὅτι τὸ ὄνομα τοῦτο τοῦ σώματος δύναται μὲν ἐκλαμβάνεσθαι ὡς σημαῖνον πρᾶγμά τι τοιοῦτον ἔχον εἶδος, ἐξ οὗ δὴ εἴδους ἔνεστιν ἀναγκαίως αὐτῷ τῷ πράγματι ἡ πρὸς τὸ ἀφορίζεσθαι ταῖς τρισὶ διαστάσεσιν ἐπιτηδειότης καὶ δύναμις μετά τινος ἀποκληρώσεως, ὥστ' ἐξ αὐτοῦ δηλονότι τοῦ εἴδους μηδεμίαν ἄλλην ὑψηλοτέραν τελειότητα τῷ πράγματι προσγίνεσθαι δύνασθαι, ἀλλ' ἐάν τι προστεθῇ, τὸ ὅλον παρὰ τὴν σημασίαν καὶ τὴν ἔννοιαν εἶναι τοῦ σώματος, τοῦτον εἰλημμένου τὸν τρόπον ὃν εἴρηται. Οὕτως οὖν λαμβανόμενον τὸ σῶμα ὁλοκληρικόν, ὡς οὕτως εἰπεῖν, καὶ ὑλικόν ἐστι τοῦ ζῴου μέρος· οὕτω γὰρ ἡ ἐγκλειομένη τῷ ζῴῳ ψυχὴ ἔσται ἄλλο τι παρὰ τὸ σημαινόμενον τῇ προσηγορίᾳ ταύτῃ

8 *Τοῦτο δὲ πῶς ἂν συμβαίνοι*: c. III, 1, p. 158, 33   9 *ἐστι* L



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ σώματος, καὶ ἔσται ἐπεισιοῦσα αὐτῷ τῷ σώματι ὡς ἐξωτερικόν τι καὶ οὐδαμῶς τῇ φύσει συγκεκλεισμένον τοῦ σώματος, ὥστ᾽ ἐξ αὐτῶν ἀμφοτέρων, δηλονότι τῆς ψυχῆς καὶ τοῦ σώματος, ὡς ἐκ μερῶν πραγματικῶν τε καὶ ὁλοκληρικῶν τὸ ζῷον συνίστασθαι.

Δύναται δὲ καὶ κατὰ δεύτερον ἐκλαμβάνεσθαι τρόπον τὸ σῶμα, ὡς πρᾶγμά τι σημαίνει τοιοῦτον εἶδος ἔχον, ἐξ οὗ δυνατόν ἐστι τὰς τρεῖς ἀφορίζεσθαι διαστάσεις χωρίς τινος ἀποτομῆς καὶ ἀποκληρώσεως, ἀλλὰ προσεπινοουμένου δηλονότι τοῦ ὁποῖον ἂν εἴη τὸ εἶδος ἐκεῖνο, εἴτε δύναται προελθεῖν ἀπ᾽ αὐτοῦ τελειότης τις ἑτέρα ὑψηλοτέρα, εἴτε καὶ μή, ὡς μήτ᾽ ἐγκλείειν ἑτέραν τελειότητα, μήτ᾽ ἀποκλείειν διωρισμένως. Καὶ τοῦτον τὸν τρόπον τὸ σῶμα γένος ἐστὶ τοῦ ζῴου· οὐδὲν γάρ ἐστι λαβεῖν ἐν τῷ ζῴῳ, ὅπερ οὐ συνεπτυγμένως ἐν τῷ σώματι περιέχεται· εἰ γὰρ ἦν τι λαβεῖν ἐν τῷ ζῴῳ, ὅπερ οὐ συνεπτυγμένως ἐν τῷ σώματι περιέχεται, τοῦτ᾽ ἂν ἦν ψυχή· ἀλλὰ τοῦ σώματος κατὰ τὸν προσεχῶς εἰρημένον τρόπον λαμβανομένου, οὐκ ἂν νοοίημεν τὴν ψυχὴν ἄλλο τι εἶδος παρ᾽ ἐκεῖνο τὸ εἶδος, δι᾽ οὗ δυνατὸν ἦν τὰς τρεῖς διαστάσεις ἐνσημαίνεσθαί γε τῷ σώματι· καὶ διὰ τοῦτο ἐν τῷ λέγεσθαι τὸ σῶμα τοιοῦτον εἶδος ἔχειν, ἐξ οὗ δυνατόν ἐστι τὰς τρεῖς ἀφορίζεσθαι διαστάσεις, ἐνοεῖτο ἅμα καὶ ὁποῖον ἂν εἴη τὸ εἶδος, εἴτε ψυχὴ δηλονότι, εἴτε λιθότης, εἴτε ὁτιοῦν ἄλλο. Καὶ οὕτω τὸ τοῦ ζῴου εἶδος ἐν τῷ εἴδει τοῦ σώματος συνεπτυγμένως περιέχεται, ὡς ἔστι τὸ σῶμα γένος του ζῴου.

Ταῦτα δὲ κατὰ μὲν τοὺς τιθέντας πλῆθος εἰδῶν ἐν ἑνὶ ὑποκειμένῳ
f. 46 ἐμψύχῳ οὐκ εἰσὶν ἀληθῆ· κατὰ γὰρ τούτους ἄλλο μὲν | εἶδος πραγματικῶς ἐστι, δι᾽ οὗ τὸ σῶμα ἐστὶ σῶμα, καὶ ἕτερον, ᾧ τὸ ζῷον ζῷον ἐστί. Κατὰ δὲ τοὺς τιθέντας ἓν εἶδος, ἀληθές ἐστι τὸ ζῴου τε καὶ σώματος ἓν εἶδος εἶναι τῷ πράγματι. Ἅτε δὲ ταύτης καὶ Θωμᾶς ὢν τῆς δόξης, τὴν ψυχήν φησι μὴ εἶναι ἄλλο εἶδος παρὰ τὸ δι᾽ οὗ τὸ σῶμα ἐστὶ σῶμα. Ποτέρα δὲ τῶν δοξῶν βελτίων ἐστίν, ἐῶμεν ἐν τῷ παρόντι σκοπεῖν. Ἀρκεῖ δὲ τοσοῦτον εἰπεῖν, ὥστε πάροδόν τινα δοῦναι τοῖς ἐπαγωνίζεσθαι βουλομένοις τῇ διαφορᾷ ταύτῃ, ὅτι τρισί τισι θεμελίοις τὴν ἑαυτῶν δόξαν ἱδρύουσιν οἱ διάφορα εἴδη ἐν τῷ αὐτῷ τιθέντες πράγματι, οἷον φέρε εἰπεῖν ἐν ἀνθρώπῳ τὴν αἰσθητικὴν ψυχὴν καὶ τὴν λογικήν. Πρῶτον γὰρ ὑποτιθέασιν, ὅτι ἐν τῇ ὕλῃ τοῦ ἀνθρωπείου σώματος ἀνάγκη εἶδός τι εἶναι ἀδιαίρετον ἴδιον τοῦ ἀνθρώπου καὶ ἐνισχημένον τῇ ὕλῃ· δεύτερον, ὅτι ἡ νοερὰ ψυχή, ᾗ τὰς οὐσίας τῶν πραγμάτων καταλαμβάνομεν νοήσει καθόλου, οὐκ ἔστιν εἶδος ἐνισχημένον τῇ ὕλῃ· τρίτον, ὅτι εἰ ἔστιν ἐν ἀνθρώπῳ εἶδός τι οὐσιῶδες καὶ ἀδιαίρετον καὶ ἴδιον τοῦ ἀνθρώπου, δεῖ τοῦτ᾽ εἶναι τὴν αἰσθητικὴν ψυχήν. Ἀποδεικνύουσι δὲ καὶ ταύτας τὰς ὑποθέσεις. Ἀλλ᾽ ἡμῖν τῶν προκειμένων ἑκτέον καὶ κατὰ τὴν τοῦ διδασκάλου τούτου δόξαν πάντα διασαφητέον.

---

**15** *νοοίημεν* sic cod.

Ε.Υ.Δ της Π.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

## XLIII.

μγʹ. Εἰ τὸ σῶμα δυνατόν ἐστι κατηγορεῖσθαι κατὰ τοῦ ζῴου.

Ἐπεὶ δὲ ἐλέγετο πρὸ μικροῦ τὸ σῶμα κατηγορεῖσθαι τοῦ ζῴου, τῷ τοῦ γένους λαμβανόμενον τρόπῳ, ὡς ἂν οὗτος ὁ λόγος διορισθείη σαφέστερον, εἰδέναι δεῖ ὡς, ἂν μὲν τὸ σῶμα ληφθῇ ᾗ ἐστιν ἐν τῷ τῆς ποσότητος γένει, οὐ δύναται τὸ σῶμα κατηγορεῖσθαι τοῦ ζῴου οὐσιώδει κατηγορίᾳ, τῇ λεγούσῃ τόδε ἐστὶ τόδε, οἷον τὸ ζῷον ἐστὶ σῶμα, διότι οὐδεμίαν κατηγορίαν ἔνεστιν ἑτέρας κατηγορεῖσθαι οὐσιωδῶς, ἀμίκτων οὐσῶν καὶ διακεκριμένων ἁπασῶν τῶν κατηγοριῶν, ὡς καὶ πρότερον εἴρηται. Δύναται μέντοι γε τὸ τοιοῦτο σῶμα παρωνύμως κατηγορεῖσθαι κατὰ τοῦ ζῴου, λεγόντων ἡμῶν, ὅτι τὸ ζῷον ἐστὶ σωματικόν, ὥσπερ καὶ τὸ ζῷον ἐστὶ λευκόν· καὶ αὕτη ἡ κατηγορία λέγεται· τόδε ἐστὶν ἐν τῷδε. Ἢ δυνάμεθα λέγειν, ὅτι ὁ ἄνθρωπος, ἢ τὸ ζῷον, ἔχει σῶμα· ὡσαύτως δὲ καὶ περὶ τοῦ σώματος δεῖ νοεῖν, τοῦ ἐν τῷ τῆς οὐσίας τυγχάνοντος γένει, ὡς ἔστι μέρος τοῦ ζῴου, μὴ δύνασθαι τοῦτ' αὐτοῦ κατηγορεῖσθαι εἰ μὴ παρωνύμως. Εἰ γὰρ καὶ τὸ μέρος εἴρηται μὴ δύνασθαι κατηγορεῖσθαι τοῦ ὅλου, παρωνύμως μέντοι γε δύναται, ὡς ἐπειδὰν λέγωμεν· ἡ κλίνη ξυλίνη ἐστί· τῷ μὲν γὰρ τῆς κλίνης ὀνόματι ἥ τε ὕλη τό τε εἶδος ἅμα δηλοῦται· ξυλίνην δέ τις ἐπειπών, τὴν ὕλην μόνον ἐδήλωσεν· | αὐτὴ δὲ μόνη μέρος ἐστὶ τοῦ f. 46ᵛ συγκειμένου. Ἂν δὲ τὸ σῶμα τὸ ἐν τῷ τῆς οὐσίας γένει λαμβάνηται ὡς ἔστι γένος, ταύτῃ κατηγορεῖσθαι δυνατόν ἐστι τοῦτο ἀληθῶς καὶ οὐσιωδῶς, λεγόντων ἡμῶν, ὡς ὁ ἄνθρωπος, ἢ τὸ ζῷον, σῶμα ἐστίν, καὶ τοῦτο σαφές ἐστιν, ἐξ ὧν ὁ διδάσκαλος ἔλεγε πρὸ μικροῦ.

Τοιαύτη δέ ἐστι καὶ ἡ τοῦ ζῴου. Ὅπερ ἔδειξεν ἐπὶ τοῦ σώματος ὡς ἐπὶ παραδείγματος ἐφαρμόττει τῷ προκειμένῳ καλῶς· τὸ δὲ ἦν, ἰδεῖν πῶς μὲν ἔχει τὸ γένος πρὸς τὸ εἶδος, πῶς δὲ τὸ εἶδος πρὸς τὸ ἄτομον. Περὶ μὲν οὖν τοῦ εἴδους ἐν τῇ πρὸς τὸ ἄτομον παραθέσει, ὕστερον· νῦν δὲ πρῶτον περὶ τοῦ γένους πρὸς τὸ εἶδος πῶς ποτε ἔχει, σκοπεῖ, καὶ τρία περὶ τουτὶ τὸ μέρος ποιεῖ· πρῶτον μὲν δείκνυσιν ὅπως τὸ ζῷον ἀδιορίστως περιέχει πᾶν ὅπερ ἐστὶν ἐν τῷ ἀνθρώπῳ· δεύτερον, φανεροῖ τινα ἀλήθειαν· τρίτον, ἀπορίαν κινεῖ τινα καὶ λύει. Φησὶ τοίνυν πρῶτον, ὅτι οἵα ἐστὶν ἡ τοῦ σώματος σχέσις πρὸς τὸ ζῷον, τοιαύτη τίς ἐστι καὶ ἡ τοῦ ζῴου πρὸς τὸν ἄνθρωπον, καὶ τοῦτο δείκνυσιν εὐφυέστατα, λέγων ὡς εἰ τὸ ζῷον ἐσήμαινε μόνον πρᾶγμά τι καὶ φύσιν τινά, ἧς ἐστι τελειότης τὸ δύνασθαι αἰσθάνεσθαι καὶ κινεῖσθαι διὰ τῆς ἐνυπαρχούσης ἀρχῆς μετὰ τοῦ ἀποκληροῦν πᾶσαν ἄλλην τελειότητα, πᾶσα τελειότης ἑτέρα ἐπεισιοῦσα εἶχεν ἂν πρὸς τὸ ζῷον ὡς μέρος, καὶ οὐχ ὥς τι συνεπτυγμένως ἐν τῷ τοῦ ζῴου λόγῳ περιεχόμενον, καὶ ἦν ἂν οὕτω συμβεβηκός, καὶ οὕτως

---

10 *κατὰ* om L  19 *αὕτη* S  24 *Τοιαύτη δέ ἐστι*: c. III, 1, p. 159, 30



Ε.Γ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

οὐκ ἂν ἦν γένος ἀνθρώπου τὸ ζῷον, ἅτ' ἐν τῷ ἀνθρώπῳ περιεχομένου τινός, τῆς λογικῆς δηλονότι ψυχῆς, ἥτις οὐδαμῶς ἂν ἐν τῷ ζῴῳ περιεκλείετο, ἀλλ' ἁπλῶς ἂν ἀπεκέκλειστο, καὶ ἦν ἂν μέρος πραγματικὸν τοῦ ἀνθρώπου, καὶ κατ' αὐτοῦ κατηγορεῖσθαι οὐκ ἂν ἠδύνατο. Καὶ μὴν τὸ ζῷον γένος εἶναι λέγεται τοῦ ἀνθρώπου, καθὸ πρᾶγμά τι σημαίνει οὗ ἐκ τοῦ εἴδους δύναται προελθεῖν αἴσθησις καὶ κίνησις χωρίς τινος ἀποκληρώσεως, τουτέστιν ὁποῖον ἂν εἴη τὸ εἶδος ἐκεῖνο, εἴτε αἰσθητικὴ μόνον ψυχή, εἴτε πρὸς ταύτῃ καὶ λογική.

## XLIV.

### μδ΄. Ὅπως τὸ ζῷον διακρίνεται τοῦ μὴ ζῴου κινήσει καὶ αἰσθήσει.

Τὸ γὰρ ζῷον τοῦ μὴ ζῴου αἰσθήσει καὶ κινήσει διακρίνεται. Ἔχει γὰρ τὸ ζῷον δύναμιν αἰσθητικήν τε καὶ γνωστικήν, ἣν οὐδὲν ἔχει τῶν ἀψύχων· κινεῖ δὲ καὶ ἑαυτὸ τὸ ζῷον καθὸ δύναταί τι κινεῖν ἑαυτό· οὐ γὰρ πρώτως, ἐπεὶ τοῦτ' ἔστιν ἀδύνατον, ἀλλὰ κατὰ μέρη, καθόσον τῷ ζῴῳ
f. 47 δύο ἔνεισι μέρη, ὧν θάτερον | μέν ἐστι κινοῦν, θάτερον δὲ κινούμενον, καὶ οὕτως ἑαυτὸ κινεῖν λέγεται. Καὶ διὰ τοῦτο οἱ φιλόσοφοι πρὸς τὴν τῆς ψυχῆς ἔρχεσθαι γνῶσιν βουλόμενοι, ἢ διὰ τῆς κινήσεως, ἢ διὰ τῆς αἰσθήσεως ἤρχοντο, ὡς ἐν τῷ περὶ ψυχῆς πρώτῳ λέγεται· καὶ διὰ τοῦτο ἐπισεσημασμένως ἐνταῦθα αἴσθησιν καὶ κίνησιν ὀνομάζει, ἁπτόμενος διὰ τούτων τῶν ἰδίως ὑπαρχόντων τῷ ζῴῳ.

## XLV.

### με΄. Ὅπως διαφόρως σημαίνουσιν ὅλον τι τό τε γένος καὶ τὸ εἶδος καὶ ἡ διαφορὰ καὶ ὁ ὁρισμός.

Ταῦτα εἰπών, ἄλλο τι δόγμα προστίθησιν ἀναγκαῖον, οἰκείως τοῖς προκειμένοις αὐτῷ. Φησὶ γὰρ ὅτι τὸ γένος ἀδιορίστως ὅλον σημαίνει τὸ ἐν τῷ εἴδει, καὶ οὐ τὴν ὕλην μόνην· ὁμοίως καὶ ἡ διαφορὰ τὸ ὅλον σημαίνει καὶ οὐ τὸ εἶδος μόνον· καὶ ὁ ὁρισμὸς σημαίνει τὸ ὅλον, ὡσαύτως καὶ τὸ εἶδος, οὐ τὸν αὐτὸν μέντοι γε πάντα τρόπον, ἀλλὰ διαφόρως· καὶ τὸν τῆς διαφορᾶς εὐθὺς ἀποδίδωσι λόγον. Τὸ γὰρ γένος, φησί, σημαίνει διωρισμένως τὸ ὑλικόν, ἀδιορίστως δὲ καὶ τὸ εἰδικόν· ἔστι γὰρ τὸ γένος παρωνυμία τις παρονομάζουσα τὸ ἐν τῷ πράγματι ὑλικὸν ἄνευ τοῦ διορίζειν τὸ ἴδιον εἶδος· καὶ διὰ τοῦτο φαμὲν τὸ γένος ἐκ τῆς ὕλης λαμβάνεσθαι, εἰ καὶ μὴ ἔστιν αὐτὸ ὕλη. Καὶ τοῦτο φανεροῖ παραδείγματι· σῶμα γάρ, φησί, λέγεται ἐκ τοῦ τοιαύτην τελειότητα ἔχειν, ὥστ' ἐν αὐτῷ τὰς τρεῖς διαστάσεις ἀφορίζεσθαι δύνασθαι. Ἰδοὺ διωρισμένως ἐνταῦθα τῷ τοῦ σώματος ὀνόματι τὸ ὑλικὸν σημαίνεται· αὐτὴ γὰρ ἡ τελειότης, ἣν διωρισμένως δηλοῖ, ὑλικῶς πρὸς τὴν ὑπερκειμένην τελειότητα ἔχει, τῇ δὲ

διαφορᾷ τὸ ἀνάπαλιν πρόσεστιν. Εἰ γὰρ καὶ τὸ ὅλον δηλοῖ, ἀλλὰ διωρισμένως μὲν σημαίνει τὸ εἰδικόν, ἀδιορίστως δέ γε τὸ ὑλικὸν τῷ καὶ αὐτὴν ὥσπερ παρωνυμίαν τινὰ εἶναι ἐξ εἴδους λαμβανομένην διωρισμένου, πλὴν τοῦ τὴν διωρισμένην ὕλην ἐκ τῆς πρώτης ἐννοίας αὐτοῦ τυγχάνειν. Καὶ τοῦτο σαφές ἐστι παραδείγματι· ἔμψυχον γάρ, ὅπερ ἐστὶ διαφορά τις τοῦ σώματος, λέγεται τὸ ψυχὴν ἔχον· ἰδοὺ εἶδος διωρισμένον· ἀλλ' οὔπω λέγει τί ἐστι τὸ ψυχὴν ἔχον, πότερον δηλονότι σῶμα, ἤ τι ἕτερον, ὅπερ ἔχει ὡς ὑλικὸν πρὸς αὐτὴν τὴν ψυχήν· καὶ οὕτω τὸ ὑλικὸν σημαίνει οὐ διωρισμένως ἀλλ' ἀδιορίστως ἡ διαφορά. Καὶ πρὸς τοῦτο ῥῆσιν τινὰ τοῦ Ἀβιγκένου παράγει· φησὶ γὰρ ἐκεῖνος, ὅτι τὸ γένος οὐ νοεῖται ἐν τῇ διαφορᾷ ὡς μέρος τῆς οὐσίας αὐτῆς, ἀλλὰ μόνον ὡς ὂν ἔξω τῆς οὐσίας αὐτῆς. Ὥσπερ καὶ τὸ ὑποκείμενον ἐκ τῆς ἐννοίας ἐστὶ τῶν | παθῶν, καὶ ὅλον f. 47v
τοῦτο ὅπερ ἐστὶ τὸ ὑλικὸν οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ εἰδικοῦ· κἀντεῦθεν ἑπόμενόν ἐστι καὶ τὸ γένος μὴ κατηγορεῖσθαι τῆς διαφορᾶς κυρίως, ὡς φησὶν ὁ Φιλόσοφος, εἰ μὴ ἴσως ὡς τὸ ὑποκείμενον κατηγορεῖται κατὰ τοῦ πάθους, διότι τὸ γένος ἔχειν δοκεῖ πρὸς τὰς διαφορὰς τρόπον τινὰ ὡς τὸ ὑποκείμενον πρὸς τὰ πάθη. Ἀλλὰ τὸ εἶδος, φησί, καὶ ὁ ὁρισμὸς ἑκάτερον σημαίνουσι καὶ διωρισμένως, οἷον ὡρισμένην τε ὕλην, ἣν σημαίνει τὸ τοῦ γένους ὄνομα, καὶ εἶδος ὡρισμένον, ὅπερ ἀφορίζεται τοὔνομα τῆς διαφορᾶς.

## XLVI.

### μϛ'. Ὅπως τὸ γένος ἀναλογεῖ ὕλῃ, καὶ ἡ διαφορὰ τῇ μορφῇ, καὶ τὸ εἶδος τῷ συνθέτῳ.

Ἐκ δὲ τῶν εἰρημένων σαφής ἐστιν ἡ αἰτία, δι' ἣν τὸ γένος, τὸ εἶδος καὶ ἡ διαφορὰ ἀναλόγως ἔχουσι πρὸς τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὸ σύνθετον ἐν τῇ φύσει, εἰ καὶ μὴ ταὐτόν εἰσιν ἐκείνοις. Διότι μὲν γὰρ τὸ γένος λέγει διωρισμένως ὅπερ ἐστὶν ὑλικόν, διὰ τοῦτο λέγεται λαμβάνεσθαι ἀπὸ τῆς ὕλης· διότι δὲ ἡ διαφορὰ λέγει διωρισμένως τὸ εἰδικόν, ἐκ τοῦ εἴδους λαμβάνεσθαι λέγεται· διότι δὲ τὸ εἶδος λέγει διωρισμένως ἑκάτερον, λέγεται σημαίνειν τὸ σύνθετον· καὶ ὅμως οὔτε τὸ γένος ἐστὶν ὕλη, οὔθ' ἡ διαφορὰ εἶδος. Καὶ δείκνυσι τοῦτο· λέγομεν γάρ, φησί, τὸν ἄνθρωπον εἶναι ζῷον λογικόν, καὶ οὐκ ἐκ τοῦ λογικοῦ ζῴου, ὥσπερ αὐτὸν φαμὲν ἐκ ψυχῆς εἶναι καὶ σώματος· ἐκ γὰρ τῆς ψυχῆς καὶ τοῦ σώματος λέγεται εἶναι ὁ ἄνθρωπος, ὡς ἐκ δύο πραγμάτων πρᾶγμά τι τρίτον συνεστηκός, ὅπερ οὐδέτερον αὐτῶν ἐστιν· ὁ γὰρ ἄνθρωπος οὔτε ψυχή ἐστιν, οὔτε σῶμα, εἰ καὶ ἄμφω ταῦτ' ἐν ἑαυτῷ ἔχει. Εἰ δέ τινι λόγῳ λέγοιτο εἶναι ὁ ἄνθρωπος ἐκ τοῦ ζῴου καὶ τοῦ λογικοῦ, οὐκ ἔσται ὥς τι πρᾶγμα τρίτον ἐκ δυοῖν πραγμάτων συνεστηκός, ἀλλ' ὥσπερ ἔννοια τρίτη ἐκ δυοῖν ἐννοιῶν· ἡ γὰρ τοῦ ζῴου ἔννοια οὐκ ἔχει τὸν διορισμὸν τῆς εἰδικῆς μορφῆς, ἥτις τὴν φύσιν τοῦ πράγματος φανεροῖ καὶ διακρίνει ἐκείνου, ὅπερ ἐστὶν ὑλικὸν τῇ πρὸς

τὴν ἐσχάτην τελειότητα ἀποβλέψει. Ἡ δὲ τῆς διαφορᾶς ἔννοια τῆς τοῦ λογικοῦ ἐν τῷ διορισμῷ τῆς εἰδικῆς μορφῆς συνίσταται, μὴ διορίζουσα μέντοι γε τὸ ὑλικόν· ἐκ τούτων δὲ τῶν ἐννοιῶν ἀμφοτέρων ἡ τοῦ ὁρισμοῦ καὶ τοῦ εἴδους συνίσταται ἔννοια· κἀντεῦθέν ἐστιν, ὅτι καθάπερ τὸ ἔκ τινων πραγμάτων συνιστάμενον πρᾶγμα οὐ δέχεται τὴν ἐκείνων κατηγορίαν ἐξ ὧν συνέστηκεν, οὕτως οὐδὲ τὸ νόημα τὴν κατηγορίαν ὑφίσταται f. 48 | τῶν ὅθεν συνέστηκε νοημάτων· οὐ γὰρ λέγομεν, ὅτι ὁ ὁρισμὸς γένος ἐστίν, ἢ ὅτι διαφορά ἐστιν. Δεῖ μέντοι γε εἰδέναι, ὅτι τὸ εἶδος καὶ ὁ ὁρισμός, εἰ καὶ ταύτῃ συμφέρονται, ὅτι τὸ ὅλον δηλοῦσι καὶ ἄμφω διωρισμένως, τὸ ὑλικὸν δηλονότι καὶ εἰδικὸν ἅμα, ἀλλὰ διαφέρουσι τῷ τὸ μὲν εἶδος οὕτω σημαίνειν τὸ ὅλον ὡς μήτ' ἀναπτύσσειν αὐτό, μήτε τι τῶν μερῶν ἀνεπτυγμένως δηλοῦν, οἷον ὁ ἄνθρωπος· ὁ δὲ ὁρισμὸς οὕτω δηλοῖ τὸ ὅλον ὥστε καὶ ἀναπτύσσειν αὐτὸ καὶ τό τε ὑλικὸν αὐτοῦ καὶ τὸ εἰδικὸν ἅμα σημαίνειν· ἐν γὰρ τῷ λόγῳ τοῦ ἀνθρώπου, τῷ ζῷον λογικόν, τὸ μὲν ζῷον δηλοῖ τὸ ὑλικόν, τῷ δὲ λογικὸν τὸ εἰδικὸν κατασημαίνεται.

## XLVII.

### μζʹ. Ὅπως ἡ „ἐκ“ πρόθεσις κυρίως παρονομάζει σχέσιν ὑλικῆς αἰτίας.

Χρὴ δὲ καὶ τοῦτο προσσημειοῦσθαι, ὅτι ἡ ἐκ πρόθεσις κυρίως μὲν σχέσιν ὑλικῆς αἰτίας σημαίνει· ὅθεν καὶ οὕτως ὁρίζονται τὴν ὕλην· ὕλη ἐστὶν ἐξ ἧς μετά τινος, τουτέστι μετὰ τοῦ εἴδους, γίνεταί τι, τουτέστι τὸ σύνθετον· καὶ διότι τὸ ζῷον οὐ λέγει κυρίως τὴν ὕλην τοῦ ἀνθρώπου, ἀλλ' ἐκ τῆς ὕλης λαμβάνεται, καὶ πολλῷ ἔλαττον τὸ λογικὸν τὴν ὕλην δηλοῖ, ἀπὸ τῆς ὕλης μὲν οὖν οὐδόλως λαμβάνεται, διὰ τοῦτο οὐ δυνατόν ἐστι λέγειν κυρίως τὸν ἄνθρωπον εἶναι ἐκ τοῦ ζῴου καὶ τοῦ λογικοῦ, ἀλλὰ διὰ τὸ τὸ σῶμα ἀληθῶς εἶναι τοῦ ἀνθρώπου ὕλην καὶ μέρος αὐτοῦ πραγματικόν, ὡσαύτως δὲ καὶ τὴν ψυχὴν ὑποδύεσθαί πως τὸν λόγον τῆς ὕλης, ἣ ἐστι καὶ αὐτὴ μέρος τοῦ ἀνθρώπου πραγματικόν, ἐντεῦθεν κυρίως λέγεσθαι τὸν ἄνθρωπον ἐκ ψυχῆς εἶναι καὶ σώματος.

Εἰ δὲ καὶ ὅτι μάλιστα τὸ γένος. — Ἐνταῦθα λύει τι ζήτημα ἐκ τῶν εἰρημένων ἀνίσχειν δυνάμενον· ἠδύνατο γάρ τις εἰπεῖν ὡς, εἰ τὸ γένος σημαίνει τὴν οὐσίαν ὅλην τοῦ εἴδους, πολλῶν εἰδῶν ὑφ' ἓν γένος ὄντων, ᾧ λόγῳ τὴν ἑνὸς αὐτῶν οὐσίαν ὅλην δηλοῖ, τῷ αὐτῷ λόγῳ καὶ τὴν ἑτέρου δηλώσει, καὶ οὕτω πλειόνων εἰδῶν μία οὐσία ἔσται. Ταύτην τοίνυν τὴν ἀπορίαν λύει, λέγων ὡς, εἰ καὶ τὸ γένος ὅλην τοῦ εἴδους τὴν

---

20 *προσημειοῦσθαι* S  29 *αὕτη* A  30 *λέγεσθαι* sic A, corrigé de *λέγεται*, que portent LS  31 *Εἰ δὲ καὶ ὅτι μάλιστα*: c. III, 2, p. 161, 8  33 *πολλῶν γενῶν ὑφ' ἓν εἶδος* L

Ε.Υ.Δ.Π.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὐσίαν σημαίνει, οὐ μέντοι γε δεῖ τῶν διαφόρων εἰδῶν, ὧν ἐστι τὸ αὐτὸ γένος, μίαν εἶναι διὰ τοῦτο οὐσίαν, καὶ τὴν αἰτίαν εὐθὺς ἀποδίδωσιν.

## XLVIII.

### μη΄. Ὅθεν λαμβάνεται ἡ τοῦ γένους ἑνότης, τοῦ εἴδους καὶ τῆς πρώτης ὕλης.

Ἡ γὰρ ἑνότης, φησί, τοῦ γένους ἐξ αὐτῆς τῆς ἀδιαφορίας καὶ ἀοριστίας λαμβάνεται, οὐχὶ δὲ ἐκ τῆς ἑνότητος τῆς φύσεως, διότι τὸ σημαινόμενον διὰ τοῦ γένους οὐ μία φύσις ἐστὶν ἐν διαφόροις εἴδεσιν, ἢ μετὰ ταῦτα φύσιν τινὰ ἐπεισερχομένην, ἑτέραν δηλαδὴ τὴν διαφοράν, διορίζειν | αὐτήν, ὡς τὸ εἶδος ἀφορίζει τὴν ὕλην, μίαν οὖσαν τῷ ἀριθμῷ· ἀλλ' οὕτω δεῖ νοεῖσθαι τὸ γένος, ὡς σημαῖνον μὲν εἶδός τι, οὐ μέντοι γε διωρισμένως τόδε ἢ ἐκεῖνο τὸ εἶδος· τοῦτο γὰρ μᾶλλον διωρισμένως ἡ διαφορὰ φανεροῖ, ὅπερ πραγματικῶς οὐκ ἔστιν ἕτερον ἢ τὸ διὰ τοῦ γένους ἀδιορίστως δηλούμενον. Κἀντεῦθεν, κατὰ τὴν Ἀβερόου διδασκαλίαν ἐν τῷ ἑνδεκάτῳ τῶν μετὰ τὰ φυσικά, τὴν διαφορὰν ἀποδίδωσι τῆς τε τοῦ γένους ἑνότητος καὶ τῆς κατὰ τὴν πρώτην ὕλην. Ἡ μὲν γὰρ πρώτη ὕλη λέγεται μία κατὰ ἀφαίρεσιν πάντων τῶν εἰδῶν· τὸ δὲ γένος ἓν λέγεται κατὰ κοινωνίαν τοῦ σεσημασμένου εἴδους· καὶ οὕτω συμπεραίνει φανερὸν εἶναι, ὡς ἄρα τῇ προσθήκῃ τῆς διαφορᾶς, ἀναιρουμένης τῆς ἀδιοριστίας ἐκείνης, ἥτις ἦν αἰτία τῆς τοῦ γένους ἑνότητος, μένει λοιπὸν τὰ εἴδη διαφόρους αὐτῶν ἔχοντα τὰς οὐσίας. Δεῖ γὰρ εἰδέναι, ὡς ἄλλοθεν ἥ τε ἑνότης τοῦ ἀτόμου λαμβάνεται, ἥ τε τοῦ εἴδους καὶ ἡ τῆς πρώτης ὕλης καὶ ἡ τοῦ γένους. Ἡ μὲν γὰρ τοῦ ἀτόμου ἑνότης ἐκ τῆς ἑνότητος τῆς σεσημασμένης ὕλης λαμβάνεται· ἡ δὲ τοῦ εἴδους ἑνότης, ἐκ τῆς ἑνότητος τῆς εἰδοποιούσης μορφῆς· ἡ δὲ τῆς πρώτης ὕλης ἑνότης, ἐκ τῆς πάντων τῶν εἰδῶν ἀφαιρέσεως, καθόσον δηλονότι, τὸ ἐφ' ἑαυτῇ, οὐδὲν εἶδος ἔχει, ἀλλὰ μόνον δυνάμει πρὸς πάντα ἐστίν. Ἡ δὲ τοῦ γένους ἑνότης ἢ ἐκ τῆς πρὸς τὰς εἰδικὰς μορφὰς ἀδιοριστίας καὶ ἀδιαφορίας, ἢ ἐκ τῆς κοινωνίας τοῦ εἴδους ὃ σημαίνει, ἢ ἐκ τῆς ἑνότητος τῆς γενικῆς ἐννοίας, ἥτις περὶ αὐτοῦ τοῦ γένους μορφοῦσθαι καὶ συλλαμβάνεσθαι δύναται. Καὶ ταῦτα πάντα, εἰ ~~καὶ~~ δοκοῦσιν εἶναι διάφορα, ἀλλ' εἴ τις ἀκριβῶς θεωροίη, εἰς ταὐτὸν ἀνακάμπτουσιν· ἐκ γὰρ τοῦ σημαίνειν τὸ κοινὸν εἶδος, ἢ ἐκ τοῦ ἀδιορίστως τε καὶ ἀδιαφόρως ἔχειν πρὸς πλείω, μίαν τινὰ σύλληψιν ἐν ἡμῖν αὐτοῖς μορφοῦμεν περὶ αὐτοῦ, τὴν ὡς ἂν εἴποι τις γενικήν.

Καὶ ἐπειδὴ εἴρηται ἡ τοῦ εἴδους. — Ὅπερ εἶπεν ἀνωτέρω περὶ τοῦ γένους καὶ τοῦ εἴδους, ἐφαρμόττει νῦν τῷ εἴδει καὶ τῷ ἀτόμῳ. Καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον μὲν γὰρ τοῦθ' ἡμῖν διασαφεῖ, ὅτι

f. 48r

36 *Καὶ ἐπειδὴ εἴρηται*: c. III, 3, p. 161, 22

Ε.Υ.Δ της Ε.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦθ᾽ ὅλον, ὅπερ ἐστὶν ἐν τῷ ἀτόμῳ διωρισμένως, ἀδιορίστως ἐν τῷ εἴδει ἐστίν· δεύτερον, ἀπορίαν τινὰ διακρούεται, δυναμένην ἐκ τῶν λεγομένων ἀνίσχειν· καὶ τρίτον, πόρισμα τίθησιν ἐξ αὐτῶν. Ἡ μὲν οὖν τοῦ προτέρου μέρους λέξις σαφής ἐστι καὶ οὐδὲν δεῖ προστιθέναι πρὸς ταύτης ἀνάπτυξιν, f. 49 πλὴν | ὅτι καλῶς τε καὶ ἠκριβωμένως ὁ διδάσκαλος φαίνεται δεδειχὼς ἅπερ ἐπήγαγε τελευταῖον, ὅτι τε ἡ ἀνθρωπότης ἀφαιρεῖ καθάπαξ τὴν σεσημειωμένην ὕλην καὶ ὅτι οὐ δύναται κατηγορεῖσθαι. Τὸ μὲν γὰρ πρῶτον οὑτωσὶ συλλογίζεται· τὸ σημαῖνον ἐκεῖνο μόνον, ὅθεν ἐστὶν ἄνθρωπος ὁ ἄνθρωπος, προηγεῖται πάσης ὕλης σεσημειωμένης· ἀλλ᾽ ἡ ἀνθρωπότης τοιαύτη ἐστίν· ἄρα καὶ τὸ συμπέρασμα. Ἡ ἐλάττων σαφής ἐστιν· ἡ γὰρ ἀνθρωπότης οὐκ ἐγκλείει εἰ μὴ τὰς οὐσιώδεις ἀρχὰς τοῦ ἀνθρώπου. Τὴν δὲ μείζω δείκνυσιν· ἡ γὰρ σεσημασμένη, φησίν, ὕλη οὐκ ἔστι τοῦτο ὅθεν ὁ ἄνθρωπος ἐστὶν ἄνθρωπος, ἀλλ᾽ ἔστιν ἐκεῖνο ὅθεν ὁ Σωκράτης ἐστὶ Σωκράτης, καὶ διὰ τοῦτο οὐδαμῶς ἐμπεριέχεται τοῖς ἐξ ὧν ὁ ἄνθρωπος ἔχει τὸ εἶναι ἄνθρωπος. Τούτου δὲ τοῦ λόγου πρῶτον τέθεικε τὴν ἐλάττω, εἶτα τὴν ἀπόδειξιν, ὡς εἴρηται, τῆς ἐλάττονος· εἶτα φανερώτερον ἐκτίθησι τὸ συμπέρασμα. Τὸ δέ γε δεύτερον, τὸ μὴ κατηγορεῖσθαι δηλονότι τὴν ἀνθρωπότητα, δείκνυσιν ἐκ τοῦ μέρους ἔχειν αὐτὴν λόγον, το δὲ πραγματικὸν μέρος μὴ κατηγορεῖσθαι κατὰ τοῦ ὅλου· καὶ βεβαιοῖ τοῦτο δι᾽ Ἀβιγκένου λέγοντος τὴν τοῦ συνθέτου οὐσίαν μὴ εἶναι τὸ σύνθετον αὐτὸ οὗ ἐστιν οὐσία, εἰ καὶ αὐτὴ ἡ οὐσία σύνθετός ἐστιν, οἷον ἡ ἀνθρωπότης· εἰ δὲ καὶ σύνθετός ἐστιν, ἀλλ᾽ οὐκ ἔστι διὰ τοῦτο καὶ ἄνθρωπος. Δεῖ μὲν οὖν αὐτὴν καὶ ἔν τινι προσλαμβάνεσθαι· τὸ δέ ἐστιν ἡ σεσημειωμένη ὕλη, εἴ γε μέλλοι εἶναι ἄνθρωπος, καθ᾽ οὗ ἂν αὐτὴ κατηγορηθείη. Ταῦτα μὲν ὁ διδάσκαλος.

## XLIX.

### μθ΄. Ὅπως ἡ ἀνθρωπότης δηλοῖ μέρος τοῦ ἀνθρώπου πραγματικόν.

Ἐπεὶ δὲ εἴρηται τὴν ἀνθρωπότητα μέρος εἶναι πραγματικόν, εἰδέναι δεῖ πρὸς μείζω τοῦ λόγου σαφήνειαν, ὅτι Σωκράτης, φέρε εἰπεῖν, πραγματικῶς ἐκ δυοῖν τινῶν σύγκειται, ἔκ τε τῆς ἀνθρωπότητος καὶ τῶν ἀτομουσῶν ἀρχῶν δηλαδή, καὶ διὰ τοῦτο τήν τε ἀνθρωπότητα καὶ τὰς ἀτομούσας ἀρχὰς ὁμοίως δεῖ μέρη αὐτοῦ τυγχάνειν πραγματικά. Ὅθεν, ἐπεὶ τὸ τοιοῦτο μέρος ἀδύνατόν ἐστι κατηγορεῖσθαι τοῦ ὅλου, καλῶς εἴρηται πάνυ τὸ μήτε κατὰ τοῦ ἀνθρώπου, μήτε κατὰ τοῦ Σωκράτους δύνασθαι κατηγορεῖσθαι τὴν ἀνθρωπότητα· ἑκατέρου γάρ ἐστιν αὕτη μέρος πραγματικόν. Ὅπως δὲ ἄνθρωπος καὶ Σωκράτης διενηνόχασιν, εἰρήσεται ὕστερον.

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

---

17 [δηλονότι om L   37 δὲ: τε S